καρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν
13 ταράσσουσιν. [13]ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν κύριος καὶ στήσει
14 εἰς κρίσιν τὸν λαὸν αὐτοῦ, [14]αὐτὸς κύριος εἰς κρίσιν ἥξει μετὰ
τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ Ὑμεῖς
δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ
15 ἐν τοῖς οἴκοις ὑμῶν; [15]τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου καὶ τὸ πρόσ-
ωπον τῶν πτωχῶν καταισχύνετε;
16 [16]Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ὑψώθησαν αἱ θυγατέρες Σιων καὶ
ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ ἐν νεύμασιν ὀφθαλμῶν καὶ τῇ
πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς ποσὶν
17 ἅμα παίζουσαι, [17]καὶ ταπεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας Σιων,
18 καὶ κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν [18]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ
ἀφελεῖ κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν καὶ τοὺς κόσμους
αὐτῶν καὶ τὰ ἐμπλόκια καὶ τοὺς κοσύμβους καὶ τοὺς μηνίσκους
19 20 [19]καὶ τὸ κάθεμα καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν [20]καὶ τὴν
σύνθεσιν τοῦ κόσμου τῆς δόξης καὶ τοὺς χλιδῶνας καὶ τὰ ψέλια
καὶ τὸ ἐμπλόκιον καὶ τὰ περιδέξια καὶ τοὺς δακτυλίους καὶ τὰ
21 22 ἐνώτια [21]καὶ τὰ περιπόρφυρα καὶ τὰ μεσοπόρφυρα [22]καὶ τὰ ἐπι-
23 βλήματα τὰ κατὰ τὴν οἰκίαν καὶ τὰ διαφανῆ Λακωνικὰ [23]καὶ τὰ
βύσσινα καὶ τὰ ὑακίνθινα καὶ τὰ κόκκινα καὶ τὴν βύσσον, σὺν
24 χρυσίῳ καὶ ὑακίνθῳ συγκαθυφασμένα καὶ θέριστρα κατάκλιτα. [24]καὶ
ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ
καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλάκρωμα ἕξεις
διὰ τὰ ἔργα σου καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περι-
25 ζώσῃ σάκκον. [25]καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ
26 πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται. [26]καὶ ταπεινω-
θήσονται καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ κατα-
4 λειφθήσῃ μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. [1]καὶ ἐπιλήμψονται
ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι Τὸν ἄρτον ἡμῶν φαγόμεθα
καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα, πλὴν τὸ ὄνομα τὸ σὸν κεκλή-
σθω ἐφ᾽ ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν.

12 τον τριβον BQ] την τρ. SA*L*, τας τριβους *C*†: cf. 30 11 42 16 49 9 58 12 et Thack. p. 146 n. 2 || 14 και $1^0$ — αυτου > S*† || 15 fin.] + φησι(ν) κυριος κυριος στρατιων *LC* (in *O* sub ※) || 16 εν B*C*] > SAQ*L* || 17 αποκαλυψει AQ] ανακαλ. BS*LC*: sic οι ο′, i. e. textus hexaplaris, teste Q, cf. 19 18 21 15 22 2 34 16 38 6 42 9 50 2. 9 51 11. 12. 23 57 12 59 13 || 18 και τους κοσμ. αυτων και] > B*C* (*C* om. etiam τα εμπλοκια), in *O* sub ÷ | κοσυμβους] + αυτων S† || 20 συνθεσιν] θ > A† | δοξης] + αυτων S*A | και τα $1^0$ ⌒ ult. S*† | το εμπλοκιον (sic etiam $S^s$)] τα -κια *C* et corrector posterior codicis S | τα περιδεξια et τους δακτ. tr. B*LC* || 23 τα $3^0$ > B*C* | χρυσιω] ι > B*L* | κατακλιτα] -ιστρα S*†, -(ε)ιστα $S^c$*C*; pr. και τα S* || 24 ηδειας] ιδιας AQ† | σχοινιον S | fin.] + ταυτα σοι αντι καλλωπισμου *L* et $Q^{mg}$ (iste solus -ισμου σου)
4 1 ανθρ. ενος] pr.(sic) εν τη ημερα εκεινη *L*